Ακαδημία Αθηνών / Academy of Athens

# ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ
# ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ

Ὁ ἱερεὺς μετὰ τό, Εὐλογητός, λέγει τό, Τρισάγιον, Δόξα Πατρί. Παναγία Τριάς. Πάτερ ἡμῶν· Ὅτι Σοῦ ἐστιν κτλ.

Καὶ ἔπειτα ψάλλει τὰ τροπάρια ταῦτα. Ἦχος δ'.

Μετὰ πνευμάτων δικαίων, τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου Σου, σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ Σοῦ, φιλάθρωπε.

Εἰς τὴν κατάπαυσίν Σου, Κύριε, ὅπου πάντες οἱ ἅγιοί Σου ἀναπαύονται, ἀνάπαυσον, Κύριε, καὶ τὴν ψυχὴν τοῦ δούλου Σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα Πατρί.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς ᾅδην καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου Σου, σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν, Θεοτόκιον.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ ἐλεηθῆναι τὴν ψυχὴν τοῦ δούλου Σου.

Ὁ διάκονος ἢ ὁ ἱερεύς·

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως καὶ συγχωρήσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦδε) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκουσιόν τε καὶ ἀκούσιον. Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ Σου δωρησάμενος. Αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου Σου (τοῦδε) καὶ τάξον αὐτὴν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη Σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος Σου ἀλήθεια.

Ὁ διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς·

Ὅτι Σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου Σου (τοῦδε), Χριστὲ

Ακαδημία Αθηνών / Academy of Athens



ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα καὶ νῦν, καὶ ἡ ἀπόλυσις.

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα Σοι.

Ὁ καὶ νεκρῶν καὶ ζώντων ἐξουσιάζων ὡς Θεὸς καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἁγίου καὶ ἐνδόξου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου Σου (δεῖνος) ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ δικαίων συναριθμῆσαι καὶ ἡμᾶς ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Δι' εὐχῶν, κτλ.

## Αἴτησις γινομένη κατὰ τὰ Σάββατα τῶν ψυχῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, Βασιλέων, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν, Πατέρων, Προπατόρων, Πάππων καὶ Προπάππων ἐκ τῶν ἀπ' ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων· καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ